Πειθόμενοί τε τοῖς Θεῶν βουλήμασι,
Οὐχ ὅμως οὗτοι πρότερον ἐτράποντο
Ἐκεῖθεν εἰς φυγὴν πρὶν τοῦ πολλοῦ αὐτῶν
Φρονήματος Βατράχοις τότε παρασχεῖν
Πεῖραν ἐκεῖ καὶ δείγματα παγκάλλιστα.
Τοιοῦτοι μὲν ἐκεῖνοι· ὑμεῖς δέ, ὦ μῦς,
Ἀπονενευρωμένοι καὶ δυνάμεις καὶ
Συμμάχους πάντας περιῃρημένοι, νῦν
Ἐν μέρει ὑπηρέτου, μῦς, γεγένησθε,
Ἐὰν ἀμυγδαλίων ἔνεστι ὑμῖν
Μεταδιδῶσιν ἀγαπῶντές πως ἢ καὶ
Ἐάν που οἴνου τύχητε μελίφρονος
Ἢ καὶ ἐλαίου, τῇ κοιλίᾳ δὲ ὑμεῖς
Δεδουλωμένοι ὑπ' αὐτῆς δίκην κτηνῶν
Τιθασσευθέντες ἐνταυθοῖ καθείρχθητε,
Καί, φεῦ! ὦ πέπονες, ὦ κάκ' ἐλέγχεα,
Ὦ ποντικίδες οὐτ' ἔτι ποντικοί,
Φεῦ! πάσης πάσης θούριδος ἀλκῆς, ὦ μῦς,
Καὶ χάρμης ἀρτίου ἐπιλέλησθε!
Καὶ μή τινες ὑμῶν τὰ εἰρημένα μοι
Δεινῶς τι φέροντές μοι συνταράττεσθε,
Οὐκ ἔστι γὰρ οὐδένας, μῦς, οὐδὲ ποτε,
Μικρὰ καὶ φαῦλα πράττοντας ὅμως λαβεῖν
Τὸ φρόνημα καὶ μέγα καὶ νεανικόν.
Ὁποῖον γὰρ ἂν ᾖ τὸ ἐπιτήδευμα,
Τοιοῦτον δέον ἔχειν καὶ τὸ φρόνημα.
Ἀλλά, τις φαίη ἄν, ὅ,τι μὲν δεῖ ποιεῖν
Ἐγνώκαμέν τε πάντες καὶ πεπείσμεθα·
Τὸν τρόπον δ' ὅμως ὅστις καὶ τὸ πλῆθος δὲ
Καὶ πόρον ὅστις τοῦτο δεῖξον δὴ ὑμῖν·
Κἀγὼ οὖν ταῦτα λέγειν δὴ πειράσομαι.
Πρῶτον μὲν οὖν, ὃ καὶ ἀναγκαιότατον,
Αὐτοὺς ἡμᾶς δεῖν ἐκστρατεύσασθαί φημι,
Μηδὲν τὸ πρᾶγμα ἀναβαλλομένους καὶ
Παρὰ τῶν ξένων προσδοκῶντας ἅπαντα.
Οὐ γάρ τις πολιτεία ἐπὶ ξενικῆς
Ὁρμοῦσ' ἀγκύρας ἀπεδείχθη ἀσφαλής.
Μὴ ξένους, μή μοι δισμυρίους μηδὲ τοὺς
Μυρίους, μηδὲ ταύτας τὰς δυνάμεις μοι
Τὰς ἐπιστολιμαίους, ἀλλ' ἡ δύναμις
Τῆς πόλεως, ὦ ἄνδρες, ἔσται, ποντικοί.
Κἄνθ' ἕνα κἄν τε πλείους στρατηγοὺς ὑμεῖς
Κἂν ὀντινοῦν, ὦ μῦς, χειροτονήσητε,
Οἱ πάντες τούτῳ δὴ εὐθὺς πεισόμεθα.
Καὶ ταῦτα μὲν δὴ ταῦτα· εἶτα δέ, ὦ μῦς,
Δοκεῖ μοι δύο πρεσβευτὰς ἑλέσθαι οἳ
Ἀπάραντες εἰς Κωνωπίαν, ἐπειδὰν
Τὴν ὀρθοτάτην τάμωσι, τοὺς Κώνωπας,
Πρὸς οὓς ὑμῖν, ἐκ παλαιοῦ πεποίηνται
Σπονδαί, παρακαλοῦσι νῦν καὶ πράγματι
Ἐπιτελεῖν τὴν συμμαχίαν, καὶ ἡμῖν
Ἐν ἄκρῳ οὖσι τοῦ κινδύνου βοηθεῖν,
Κἀμὶν παραγενέσθαι ὅσον τάχιστα,
Κομιζομένους καὶ παγχάλκους σάλπιγγας,
Τὸν τρόπον τοῦτον γὰρ ἡμῖν οἱ Κώνωπες
Ὡς ἄριστ' ἄν, ὦ μῦς, ἐπικουρήσαιεν.
Καὶ γὰρ πρὸς τὸ σαλπίζειν δαιμονίως πως
Τὸ τῶν Κωνώπων ἔθνος εὖ πεφύκασι.

Τὴν δὲ πρεσβείαν ὅσον τάχιστά φημι
Δεῖν τῆς πορείας ἅπτεσθαι, μηδὲ ποτε
Ἡμέρας καὶ νυκτὸς μὴ ἀναπαύεσθαι·
Ὑμᾶς δὲ οὕτως ἔχειν ἑτοιμότατα,
Ὥστ' ἅμα προσμιξάντων ἐνταυθοῖ ἡμῖν
Τῶν ἐπικούρων τὰ σημεῖα ἄραντας,
Κρουσάντων τῶν Κωνώπων ἐμβατήριον,
Ἐπὶ τὴν γραῦν ὁμόσε ἅπαντας χωρεῖν
Μηδὲ τῆς μάχης πρῶτον ἀπαλλάττεσθαι,
Πρὶν ἢ κατὰ πρηνὲς τὸ μέλαθρον βαλεῖν
Τὸ αἰθαλόεν Πιππελζοῦς κ' ἐπ' ἔσχατον
Ἱκέσθαι τέκμωρ ὑπογεοῦ καὶ ὀροφῆς.
Καὶ πρὸ αὐτῆς τῆς βδελυκτῆς καὶ μιαρᾶς
Οἰκίας γραοκτόνον στῆσαι τρόπαιον!
« Κελαινεφές, αἰθέρι ναίων, κύδιστε,
Ζεῦ μέγιστε, μὴ πρὶν ἐπὶ ἠέλιον
Μὴ δῦναι, ἐπὶ κνέφας δὲ ἐλθεῖν, ὦ Ζεῦ,
Πρὶν ἢ κατὰ βαλεῖν μέλαθρον πρηνὲς
Πιππελιοῦς, ἐμπρῆσαι δὲ δηΐοιο
Πυρὸς τὰ θύρετρ', ἄψ χιτῶνα δὲ γραὸς
Δαΐξαι ῥωγαλέον περὶ στήθεσι
Χαλκῷ, πολλαὶ δὲ φίλαι γραῖες ἀμφ' αὐτὴν
Πρηνέες πᾶσαι γαῖαν ἐν κονίῃσιν
Ὀδὰξ λαζοίατο! ὦ κύδιστε ὀδάξ »
Ἐνταῦθ' ὁ Δημοσθένης μῦς τὸν εὔγλωττον
Πιππελεκόν του καταλύει καὶ εὐθὺς
Τοῦ βήματος κατέβη καὶ πολλῶν μυῶν
Τὰς τρίχας ὠρθωμένας ἔτι ἔβλεπες.
Τοσοῦτον ἦν μεγάλη ἡ συγκίνησις.
Μὴ γὰρ τὰ ὦτα τὰ λεπτὰ τῶν ποντικῶν
Ὁ Ὕψιστος ἐκ τοῦ αὐτοῦ Δημιουργὸς
Πηλοῦ καὶ ζύμης ἔπλασεν ἐξ οὗ καὶ τὰ
Τῶν συνεδριαζόντων εἴς τινας Βουλάς,
Παρ' οἷς ὠτίων πᾶσα διπλωματικὴ
Πρὸς φρένας σχέσις διακόπτεται εὐθύς,
Καθὼς εἰσέλθωσιν εἰς τὸν Βουλευτικὸν
Περίβολον, καὶ ὧν, ἐκ τῶν ῥητορικῶν
Πυροβολοστασίων τῶν τοῦ βήματος
Ὅσαι ἂν ἀφεθῶσι βόμβαι πορφυραῖ,
Οὐδὲ μικρόν ποτε τὸ ἀκουστήριον
Ἰσχύει τις αὐτῶν νὰ πλήξῃ τύμπανον;
Οὐχί! Τοιαύτη νόσος ἐπιδημικὴ
Τοὺς ἀδελφούς μου μῦς οὐδέποτ' ἔλαβεν·
Ἀλλὰ οἱ πάντες κομιδῇ ἐπείθοντο
Τοῖς εἰρημένοις, οὐδ' ἐτόλμησεν οὐδεὶς
Ν' ἀντείπῃ τι πρὸς ταῦτα· ἀλλ' εἰπόντος τοῦ
Προέδρου « οἱ τὰ δόξαντα δεχόμενοι
Τῷ ῥήτορι, τὴν χεῖρ' ἀνατεινάτωσαν! »
Οἱ πάντες τοῦτο ἔπραξαν μέχρις ἑνός.
Τῆς δὲ Βουλῆς λυθείσης, ἅπαξ ἅπαντες
Ἀπῆλθον εἰς τὰ ἴδια, μετὰ σφοδρᾶς
Ἀνυπομονησίας τὴν ἐκτέλεσιν
Τῶν ἀποφασισθέντων περιμένοντες.
Οἱ πάντες δὲ τὸν ῥήτορα ἐθαύμαζον,
Καὶ οὕτως ἔλεγέ τις πρὸς τὸν ἑαυτῷ
Πλησίον ὄντα καθ' ὁδὸν στρεφόμενος·
Ὦ φίλε, δέν σ' ἐφάνη εὐγλωττότατος
Ὁ λόγος; Πάντα οὗτος ἀξιόλογος